# ΟΝΟΜΑΤΑ



# ΚΕΧΙΑΣΜΕΝΑ

πρώτη μηνιαία αἰνιγματικὴ
ἔκδοσις ἐν τῇ ἀρχαίᾳ Ἑλληνικῇ γλώσσῃ

ἔτος 2015 – τρίτη ἔκδοσις

ἐκδότης: Λουκᾶς Δεσιάτα

βουλὴ τῶν ἐκδοτῶν: Θεόδωρος
διορθωτής: Ἰήτης

www.**MyLatinLover**.it

# ὀνόματα κεχιασμένα (ἐξ Ἰλιάδος Α)

| | | | | | | | | | | | | |
|---|---|---|---|---|---|---|---|---|---|---|---|---|
| I | ■ | II | ■ | III | | IV | | V | ■ | VI | ■ | VII |
| VIII | | | | | ■ | | ■ | IX | | | | |
| | ■ | | ■ | X | | | | | ■ | | ■ | |
| XI | | | | | ■ | | ■ | XII | | | | |
| | ■ | | ■ | XIII | | | | | ■ | | ■ | |

**ὅροι ὁμαλοί ( → )**

III) … _____ ἔχων ἐπὶ νῆας, ἐπεί κε κάμω πολεμίζων… (168);
VIII) … τοῖσιν δὲ Χρύσης _____ εὔχετο χεῖρας ἀνασχών … (450);
IX) … _____ δ' ἀνέβη μέγαν οὐρανὸν Οὔλυμπόν τε … (497)
X) … _____ ἀείδοντες παιήονα κοῦροι Ἀχαιῶν … (473);
XI) … ἀλλ' ἄγε διογενὲς Πατρόκλεες _____ κούρην … (337);
XII) … _____ μὲν στείλαντο, θέσαν δ' ἐν νηῒ μελαίνῃ … (433);
XIII) … καῖε δ' ἐπὶ σχίζῃς ὁ γέρων, ἐπὶ δ' αἴθοπα _____ ... (462).

**ὅροι κάθετοι ( ↓ )**

I) … ἀλλὰ πίθεσθε καὶ _____ , ἐπεὶ πείθεσθαι ἄμεινον … (274)
II) … αἰδεῖσθαί θ' ἱερῆα καὶ _____ δέχθαι ἄποινα … (377)
III) … ἀλλ' ἄγε λῆγ' ἔριδος, μηδὲ ξίφος _____ χειρί … (210);
IV) … λίσσομ' Ἀχιλλῆϊ μεθέμεν _____ , ὃς μέγα πᾶσιν … (283);
V) … _____ Ἀπόλλωνος ἑκατηβελέταο ἄνακτος … (75);
VI) … κήδετο γὰρ Δαναῶν, ὅτι ῥα θνήσκοντας _____ … (56);
VII) … τὴν δ’ ἐγὼ οὐ λύσω· πρίν μιν καὶ _____ ἔπεισιν … (29).

**μεταβολὴ τοῦ ἐν ἀρχῇ συμφώνου γράμματος**

… ὦ φίλοι Ἀργείων ἡγήτορες ἠδὲ μέδοντες
εἰ ●▲▰ τις τὸν ὄνειρον Ἀχαιῶν ἄλλος ἔνισπε
ψεῦδός ■▲▰ φαῖμεν καὶ νοσφιζοίμεθα μᾶλλον
νῦν δ' ἴδεν ὃς μέγ' ἄριστος Ἀχαιῶν εὔχεται εἶναι …

( **Ἰλιάδος β΄, 79-82** )

**εὑρὲ τὸν λόγον**

εὑρὲ τὸν κεκαλυμμένον λόγον ἐκ τοῦ **Ἀ** εἰς τὸ **εἶ**, συνδέων γράμματα, ὡς τὸ παράδειγμα δηλοῖ

| | | | |
|---|---|---|---|
| **Ἀ** | ς | ὁ | θ |
| γ | ε | ὸ | ε |
| μ | ε | ὶ | ρ |
| ω | ε | τ | **εῖ** |

**Παράδειγμα**




( Κύριε ἐλέησον )

## τὰ φωνήεντα γράμματα οὐχ ἱκανά

γράφε γράμματα ἀντὶ ἑκάστου ἀριθμοῦ ἵνα τοῦ προοιμίου τῆς Ὀδυσσείας τυγχάνῃς

ἔ 1 2' - ἅ 3 3 οι - 4 ὲ 1 - 5 ά 1 6 ε 7, - ὅ 8 οι - 9 ύ 10 ο 1 - αἰ 5 ὺ 1 - ὅ 3 ε 2 11 ο 1,
οἵ 12 οι - ἔ 8 α 1, - 5 ό 3 ε 4 ό 1 - 6 ε - 5 ε 9 ευ 10 ό 6 ε 7 - ἡ 13 ὲ - 2 ά 3 α 8 8 α 1·
6 ὸ 1 - 13' - οἶο 1, - 1 ό 8 6 ου - 12 ε 14 11 η 4 έ 1 ο 1 - ἡ 13 ὲ - 10 υ 1 αι 12 ό 7,
1 ύ 4 9 η - 5 ό 6 1 ι' - ἔ 11 υ 12 ε - 12 α 3 υ 15 ώ, - 13 ῖα - 2 εάω 1,
ἐ 1 – 8 5 έε 8 ι - 10 3 α 9 υ 11 οῖ 8 ι, - 3 ι 3 αιο 4 έ 1 η - 5 ό 8 ι 1 - εἶ 1 αι.
ἀ 3 3' - ὅ 6 ε - 13 ὴ - ἔ 6 ο 7 - ἦ 3 2 ε - 5 ε 11 ι 5 3 ο 4 έ 1 ω 1 - ἐ 1 ιαυ 6 ῶ 1,
6 ῷ - οἱ - ἐ 5 ε 12 3 ώ 8 α 1 6 ο - 2 εοὶ - οἶ 12 ό 1 13 ε – 1 έε 8 2 αι
εἰ 7 - Ἰ 2 ά 12 η 1, - οὐ 13' - ἔ 1 2 α - 5 ε 9 υ 10 4 έ 1 ο 7 - ἦε 1 - ἀέ 2 3 ω 1
12 αὶ - 4 ε 6 ὰ - οἷ 8 ι - 9 ί 3 οι 8 ι· - 2 εοὶ - 13' - ἐ 3 έαι 11 ο 1 - ἅ 5 α 1 6 ε 7
1 ό 8 9 ι - 5 ο 8 ει 13 άω 1 ο 7· - ὁ - 13' - ἀ 8 5 ε 11 14 ὲ 7 - 4 ε 1 έαι 1 ε 1
ἀ 1 6 ι 2 έῳ - Ὀ 13 υ 8 ῆϊ - 5 ά 11 ο 7 - ἣ 1 - 10 αῖα 1 - ἱ 12 έ 8 2 αι.
ἀ 3 3' - ὁ - 4 ὲ 1 - Αἰ 2 ίο 5 α 7 - 4 ε 6 ε 12 ία 2 ε – 6 η 3 ό 2' - ἐό 1 6 α 7,
Αἰ 2 ίο 5 α 7, - 6 οὶ - 13 ι 14 2 ὰ - 13 ε 13 αία 6 αι, - ἔ 8 14 α 6 οι - ἀ 1 13 11 ῶ 1,
οἱ - 4 ὲ 1 - 13 υ 8 ο 4 έ 1 ου - Ὑ 5 ε 11 ίο 1 ο 7, - οἱ - 13' - ἀ 1 ιό 1 6 ο 7,
ἀ 1 6 ιόω 1 - 6 αύ 11 ω 1 - 6 ε - 12 αὶ - ἀ 11 1 ειῶ 1 - ἐ 12 α 6 ό 4 16 η 7.

## ζήτησις τῶν ὀνομάτων

εὑρὲ τὰ ὀνόματα. τὰ λοιπὰ γράμματα ποιήσονται τὸ λοιπὸν ὄνομα.

| | | | | | | | | | | | | |
|---|---|---|---|---|---|---|---|---|---|---|---|---|
| δ | ε | π | ε | γ | ν | α | μ | ψ | ε | ν | ι | κ |
| ω | ο | ο | τ | ε | ν | ι | α | φ | θ | ο | α | ς |
| μ | ν | α | ν | ε | ρ | ε | ς | υ | λ | ρ | κ | κ |
| α | ε | α | ν | ε | ρ | φ | μ | ε | η | ε | α | ν |
| τ | ι | π | π | ο | κ | ο | ρ | υ | σ | τ | α | ι |
| ρ | ρ | ι | ν | ο | ν | μ | ε | μ | α | γ | α | λ |
| ω | ο | υ | λ | ε | λ | θ | ω | ν | ο | λ | υ | ο |
| ω | ν | λ | ι | σ | σ | ε | ω | ρ | τ | ε | υ | π |
| ν | ω | ι | α | χ | α | π | α | ν | τ | α | ς | ε |
| κ | ο | μ | ο | ω | ν | τ | α | ς | ο | ν | π | υ |

Ἄλλοι μέν ῥα θεοί τε καὶ **ἀνέρες ἱπποκορυσταὶ**
εὗδον παννύχιοι, Δία δ' οὐκ ἔχε νήδυμος **ὕπνος**,
ἀλλ' ὅ γε μερμήριζε **κατὰ** **φρένα** ὡς Ἀχιλῆα
τιμήσῃ, ὀλέσῃ δὲ **πολέας** ἐπὶ νηυσὶν **Ἀχαιῶν**.
ἥδε δέ οἱ κατὰ **θυμὸν** ἀρίστη **φαίνετο** βουλή,
πέμψαι ἐπ' Ἀτρεΐδῃ **Ἀγαμέμνονι οὖλον ὄνειρον**·
καί μιν φωνήσας ἔπεα **πτερόεντα** προσηύδα·
βάσκ' ἴθι **οὖλε** ὄνειρε **θοὰς** ἐπὶ νῆας Ἀχαιῶν·
**ἐλθὼν** ἐς κλισίην Ἀγαμέμνονος Ἀτρεΐδαο
πάντα μάλ' ἀτρεκέως ἀγορευέμεν ὡς ἐπιτέλλω·
θωρῆξαί ἑ _______ **κάρη κομόωντας** Ἀχαιοὺς
πανσυδίῃ· νῦν γάρ κεν **ἕλοι πόλιν** εὐρυάγυιαν
**Τρώων**· οὐ γὰρ ἔτ' ἀμφὶς Ὀλύμπια **δώματ'** ἔχοντες
ἀθάνατοι φράζονται· **ἐπέγναμψεν** γὰρ **ἅπαντας**
Ἥρη λισσομένη, **Τρώεσσι** δὲ κήδε' ἐφῆπται.

## εἰκὼν κεκρυμμένη

σύνδει σημεῖα ἐκ τοῦ α εἰς τὸ ψ ἵνα εἰκόνα ποιῇς




# ΑΣΤΕΡΙΚΙΟΣ ΚΑΙ ΚΛΕΟΠΑΤΡΑ

γ'




(Permission requested to publisher Mamouth Comix and forwarded to the French publisher)

## Κεκαλυμμένα ἀγάλματα

29 Ἰανουαρίου 2016



Νεωστὶ ὁ τοῦ Ἰρᾶν πρόεδρος, ὁ Ῥοχάνι, εἰς τὴν Ῥώμην ἀφίκετο ἵνα τοῖς τῆς Ἰταλίας ἄρχουσι διαλέγοιτο, ταύτης δὲ τῆς πορείας ἕνεκα ἄνομόν τι ἐγένετο, τὰ γὰρ ἀγάλματα γυμνῶν ἀνθρώπων ἐκαλύφθη τοῦ πρωθυπουργοῦ Ἰταλοῦ Ματθαίου Ῥένζι κελεύοντος.

ἡ δὲ αἰτία; τῷ μὲν τοῦ Ἰρᾶν προέδρῳ μουσεῖά τινα ἐπισκοπεῖν βουλομένῳ οὐκ ἔδοξε γυμνοὺς ἀνθρώπους ἰδεῖν, τοῦτο δὲ ἀκούσας ὁ Ῥένζι ἐκέλευσε τοιαῦτα ἀγάλματα καλυφθῆναι. καὶ δὴ καὶ οὐκ ἐξὸν τῷ Ῥοχάνι οἶνον πίνειν ἐν τῷ συμποσίῳ ὃ ὁ Ῥένζι αὐτῷ παρέσχεν ἀπῆν τοῦτο τό πότημα.

οὐ μόνον πολλοὶ Ἰταλοὶ δημοσιογράφοι τούτῳ ψόγον ἐπήνεγκον ἀλλὰ καὶ πολλοὶ αὐτοῦ τοῦ κόμματος τοῦ Ῥένζι. τὴν Ἰταλίαν ἀπολιπὼν ὁ Ῥοχάνι εἰς τὴν Γαλατίαν ἀφίκετο, τῶν γὰρ κατὰ τοῦ Ἰρᾶν διεθνῶν κυρώσεων τελευτησασῶν ἐν νῷ ἔχει ὡς πλείστοις Εὐρωπαίοις ἄρχουσιν διαλέγεσθαι.

Reproduced with authorisation of Juan Coderch

## Ὁ Ποῦτιν περὶ τῆς Τουρκίας διαλέγεται

17 Δεκεμβρίου 2015



Καθ' ἑκάστην Πέμπτην ὁ πρόεδρος Ποῦτιν τοῖς δημοσιογράφοις σύνοδον παρέχει ἐν ᾗ περὶ τῆς καταστάσεως λέγει καὶ πρὸς τὰ ἐρωτήματα ἀποκρίνεται, τήμερον δὲ 1,392 δημοσιογράφοι παρῆσαν, τοσοῦτοι ὅσοι οὐδέποτε τὸ πρότερον. πρῶτον μὲν κατὰ τὸ εἰκὸς περὶ τῆς οἰκονομικῆς καταστάσεως λέγων διεβεβαιώσατο ὅτι ἡ Ῥωσσικὴ οἰκονομία ἤδη τὴν κρίσιν νικήσειε˙

ἡ μὲν σύνοδος ἐν ἡσυχίᾳ ἦν μέχρι οἱ δημοσιογράφοι περὶ τοῦ τῆς Τουρκίας προβλήματος ἤροντο (ἡ γὰρ Τουρκία Ῥωσσικὸν ἀεροσκάφος ἐγγὺς τοῦ τῆς Συρίας ὅρου κατέβαλεν), ὁ δὲ Ποῦτιν τὸν τῆς φωνῆς τόνον ἐξαίφνης μεταβαλὼν ἀπεκρίνατο μὲν ὅτι οὐκ ἐξείη τοῖς Τούρκοις διαλέγεσθαι, εἶπε δὲ ἐρεθιστικὸς “ἡ μὲν Τουρκικὴ ἀρχὴ ᾤετο ἡμᾶς ἐκ τῆς Συρίας ἀποφεύξεσθαι, τοῦτο δὲ οὐχ οὕτως ἐγένετο, ἡ γὰρ Ῥωσσία οὐ τοιαύτη χώρα ἐστίν˙ τὸ τῶν ἀεροσκαφῶν πλῆθος ηὐξήκαμεν ἐν τῇ Συρίᾳ˙ εἰ τὸ πρότερον τὰ Τουρκικὰ ἀεροσκάφη ἐπὶ τῆς Συρίας κατὰ τοὺς διεθνεῖς νόμους ἐπέτετο, πειρησάντων τοῦτο νῦν ποιεῖν.“ οὐδένα ἔλαθε ταύτην τὴν χώραν ἀπειλῶν.

Reproduced with authorisation of Juan Coderch

## ὀνόματα κεχιασμένα

| | | | | | | | | | | | | |
|---|---|---|---|---|---|---|---|---|---|---|---|---|
| υ | ■ | α | ■ | ε | ρ | χ | ο | μ | ■ | ο | ■ | γ |
| μ | ε | γ | α | λ | ■ | ο | ■ | η | ε | ρ | ι | η |
| μ | ■ | λ | ■ | κ | α | λ | ο | ν | ■ | α | ■ | ρ |
| ε | ξ | α | γ | ε | ■ | ο | ■ | ι | σ | τ | ι | α |
| ς | ■ | α | ■ | ο | ι | ν | ο | ν | ■ | ο | ■ | ς |

**μεταβολὴ τοῦ ἐν ἀρχῇ συμφώνου γράμματος**

… ὦ φίλοι Ἀργείων ἡγήτορες ἠδὲ μέδοντες
εἰ μέν τις τὸν ὄνειρον Ἀχαιῶν ἄλλος ἔνισπε
ψεῦδός κεν φαῖμεν καὶ νοσφιζοίμεθα μᾶλλον
νῦν δ' ἴδεν ὃς μέγ' ἄριστος Ἀχαιῶν εὔχεται εἶναι …

**τὰ φωνήεντα γράμματα οὐχ ἱκανά**

γράφε γράμματα ἀντὶ ἑκάστου ἀριθμοῦ ἵνα τοῦ προοιμίου τῆς Ὀδυσσείας τυγχάνῃς

ἔνθ' ἄλλοι μὲν πάντες, ὅσοι φύγον αἰπὺν ὄλεθρον,
οἴκοι ἔσαν, πόλεμόν τε πεφευγότες ἠδὲ θάλασσαν·
τὸν δ' οἶον, νόστου κεχρημένον ἠδὲ γυναικός,
νύμφη πότνι' ἔρυκε Καλυψώ, δῖα θεάων,
ἐν σπέεσι γλαφυροῖσι, λιλαιομένη πόσιν εἶναι.
ἀλλ' ὅτε δὴ ἔτος ἦλθε περιπλομένων ἐνιαυτῶν,
τῷ οἱ ἐπεκλώσαντο θεοὶ οἶκόνδε νέεσθαι
εἰς Ἰθάκην, οὐδ' ἔνθα πεφυγμένος ἦεν ἀέθλων
καὶ μετὰ οἷσι φίλοισι· θεοὶ δ' ἐλέαιρον ἅπαντες
νόσφι Ποσειδάωνος· ὁ δ' ἀσπερχὲς μενέαινεν
ἀντιθέῳ Ὀδυσῆϊ πάρος ἣν γαῖαν ἱκέσθαι.
ἀλλ' ὁ μὲν Αἰθίοπας μετεκίαθε τηλόθ' ἐόντας,
Αἰθίοπας, τοὶ διχθὰ δεδαίαται, ἔσχατοι ἀνδρῶν,
οἱ μὲν δυσομένου Ὑπερίονος, οἱ δ' ἀνιόντος,
ἀντιόων ταύρων τε καὶ ἀρνειῶν ἑκατόμβης.

**εὕρισκε τὸν λόγον**

Ἀεὶ ὁ θεὸς
γεωμετρεῖ

# λύσις

## ζήτησις τῶν ὀνομάτων

| | | | | | | | | | | | | |
|---|---|---|---|---|---|---|---|---|---|---|---|---|
| δ | ε | π | ε | γ | ν | α | μ | ψ | ε | ν | ι | κ |
| ω | ο | ο | τ | ε | ν | ι | α | φ | θ | ο | α | ς |
| μ | ν | α | ν | ε | ρ | ε | ς | υ | λ | ρ | κ | κ |
| α | ε | α | ν | ε | ρ | φ | μ | ε | η | ε | α | ν |
| τ | ι | π | π | ο | κ | ο | ρ | υ | σ | τ | α | ι |
| ρ | ρ | ι | ν | ο | ν | μ | ε | μ | α | γ | α | λ |
| ω | ο | υ | λ | ε | λ | θ | ω | ν | ο | λ | υ | ο |
| ω | ν | λ | ι | σ | σ | ε | ω | ρ | τ | ε | υ | π |
| ν | ω | ι | α | χ | α | π | α | ν | τ | α | ς | ε |
| κ | ο | μ | ο | ω | ν | τ | α | ς | ο | ν | π | υ |

κ ε λ ε υ ε = κέλευε

**εἰκὼν κεκρυμμένη**

